UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

XIV. De iis, quae Maximus tyrannus Valentiniano Juniori scripsit.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

μενος οὐ μόνον οὐ προσίετο τὰ λεγόμενα, ἀλλὰ καὶ θυμοῦ πλήρης ἐγίνετο, καὶ λόχοις ὁπλιτῶν τε καὶ πελταστῶν τοὺς ἐκκλησιαστικοὺς περιβόλους ἐκύκλου. ἐπειδὴ δὲ τὸν μέγιστον ἐκεῖνον ἀριστέα οὐδὲν ἐδεδίξατο τῶν ὑπ' αὐτοῦ γινομένων· μορμολύκεια γὰρ ὑπέλαβε ταῦτα, μειρακυλλίοις ὑπό τινων προσφερόμενα· τότε δὴ χαλεπήνας, προφανῶς αὐτὸν ἐκέλευσε τῶν ἱερῶν ἔξω βῆναι προθύρων. ὁ δὲ, ἑκὼν μὲν ἔφη τοῦτο οὐ δράσω, οὐδὲ προδώσω τοῖς λύκοις τὸν τῶν προβάτων σηκὸν, οὐδὲ τοῖς βλασφημοῦσι τὸν θεῖον παραδώσω νεών· ἀλλ' εἴ σοι κτεῖναι δοκεῖ, ἔνδον ἐπένεγκέ μοι τὸ ξίφος ἢ τὴν αἰχμήν. ἀσπασίως γὰρ δέξομαι τὴν τοιαύτην σφαγήν.

A verba Ambrosii nonmodo non admisit, verum etiam ira exarsit; levisque & gravis armaturæ militibus Ecclesiæ ambitum circumsepsit. Sed cum nihil eorum, quæ ab ipso facta erant, fortissimum virum terruisset: pro larvis enim cuncta ducebat, quæ pueris à quibusdam objici solent: tandem indignatus, palam ei mandavit ut extra vestibulum Ecclesiæ prodiret. Verum Ambrosius: Ego, inquit, mea sponte id non faciam, nec ovium septa lupis prodam, nec Dei templum blasphemantibus tradam. Sed si tibi libitum est occidere, intus B ensem vel hastam in me adige. Libenter enim hujusmodi mortem excipiam.

## Κεφ. ιδʹ.

Περὶ τῶν παρὰ μαξίμου τοῦ τυράννου οὐαλεντινιανῷ τῷ νέῳ δηλωθέντων.

Χρόνου δὲ συχνοῦ τριβομένου, μεμάθηκε μὲν ὁ μάξιμος τὰ κατὰ τοῦ μεγαλοφώνου κήρυκος τῆς ἀληθείας τολμώμενα· ἐπέστειλε δὲ τῷ οὐαλεντινιανῷ, τὸν κατὰ τῆς εὐσεβείας πόλεμον καταλῦσαι παρεγγυῶν, καὶ παραινῶν μὴ προέσθαι τὴν πατρῴαν εὐσέβειαν· προσέθηκε δὲ καὶ τοῦ πολέμου τὴν ἀπειλὴν, εἰ μὴ πείθοιτο· καὶ μέντοι καὶ τὸ ἔργον τοῖς λόγοις ἐπέθηκε. τὴν γὰρ στρατιὰν ἀγείρας, ἐπὶ τὴν μεδιόλανον ὥρμησεν, ἔνθα ἐκεῖνος διῆγεν· ὁ δὲ μαθὼν τὴν ἔφοδον, εἰς ἰλλυριοὺς ᾤχετο φεύγων, τῇ πείρᾳ μαθὼν τίνων ἐκ τῆς μητρῴας ἀπώνατο συμβουλῆς.

## Cap. XIV.

*De iis, quæ Maximus tyrannus Valentiniano juniori scripsit.*

Cum jam multum temporis in his tereretur, certior factus est Maximus de rebus, quę contra egregium veritatis præconem tentabantur. Scripsit itaque litteras ad Valentinianum, qui- C bus eum hortabatur, ut pietati bellum inferre desisteret, monebatque ne paternam religionem proderet. Adjecit etiam minas belli, nisi Valentinianus morem gereret: statimque verba factis confirmavit. Collectis enim copiis, Mediolanum versus contendit, in qua tum Valentinianus degebat. Qui audita Maximi expeditione fugit in Illyricum, experimento ipso edoctus, quid sibi profuissent matris consilia.

## Κεφ. ιεʹ.

Περὶ τῶν παρὰ θεοδοσίου τοῦ βασιλέως περὶ τούτου γραφέντων.

Πυθόμενος δὲ θεοδόσιος ὁ πανεύφημος βασιλεὺς τά τε παρὰ τοῦ βασιλέως πραχθέντα καὶ παρὰ τοῦ τυράννου γραφέντα, ἔγραψε τῷ πεφευγότι νέῳ, μὴ χρῆναι θαυμάζειν, εἰ τῷ βασιλεῖ μὲν τὸ δέος, τῷ δὲ τυράννῳ τὸ κράτος συνέζευκται. τῇ γὰρ εὐσεβείᾳ πεπολέμηκε μὲν ὁ βασιλεύς· ὁ δὲ τύραννος ἐπεκούρησε. καὶ ὁ μὲν ταύτην προέμενος, ἀποδιδράσκει γυμνός· ὁ δὲ ταύτῃ καθωπλισμένος, τοῦ γεγυμνωμένου κρατεῖ· τῇ γὰρ εὐσεβείᾳ καὶ ὁ ταύτης σύνεστι νομοθέτης· ταῦτα μὲν οὖν ἑκὰς ὢν

## Cap. XV.

*De iis, quæ à Theodosio Imperatore scripta sunt his de rebus.*

D Porro Imperator Theodosius nunquam satis laudatus, cum ea, quæ à Juniore Valentiniano facta, & quæ à Maximo tyrãno scripta fuerant, cognovisset, ad profugum adolescentem scripsit: mirandum non esse, si Imperatori quidem terror, tyranno verò robur accresceret: quippe cum Imperator pietati bellum intulisset, tyrannus autem tulisset auxilium. Itaque is quidem, qui eam deseruit, nudus fugit: ille vero, qui pietatis armis munitus est, nudatum vincit. Pietati enim semper conjunctus est legislator pietatis. Et hæc quidem scripsit ad illum Theodosius, dum procul